## Storia della Lingua Greca – Laurea Magistrale – 20.10.2014

### Aesch. *Pers.* 159-169

ΒΑΣΙΛΕΙΑ

ταῦτα δὴ λιποῦσ’ ἱκάνω χρυσεοστόλμους δόμους
καὶ τὸ Δαρείου τε κἀμὸν κοινὸν εὐνατήριον.
καί με καρδίαν ἀμύσσει φροντίς· ἐς δ’ ὑμᾶς ἐρῶ
μῦθον οὐδαμῶς ἐμαυτῆς οὖσ’ ἀδείμαντος, φίλοι,
μὴ μέγας Πλοῦτος κονίσας οὖδας ἀντρέψῃ ποδὶ
ὄλβον, ὃν Δαρεῖος ἦρεν οὐκ ἄνευ θεῶν τινός.
ταῦτά μοι μέριμν’ ἄφραστός ἐστιν ἐν φρεσὶν διπλῆ,
μήτε χρημάτων ἀνάνδρων πλῆθος ἐν τιμῇ σέβειν
μήτ’ ἀχρημάτοισι λάμπειν φῶς ὅσον σθένος πάρα.
ἔστι γὰρ πλοῦτός γ’ ἀμεμφής, ἀμφὶ δ’ ὀφθαλμῷ φόβος·
ὄμμα γὰρ δόμων νομίζω δεσπότου παρουσίαν.

### Soph. *Ph.* 1-47, 153-190

ΟΔΥΣΣΕΥΣ

ἀκτὴ μὲν ἥδε τῆς περιρρύτου χθονὸς
Λήμνου, βροτοῖς ἄστιπτος οὐδ’ οἰκουμένη,
ἔνθ’, ὦ κρατίστου πατρὸς Ἑλλήνων τραφεὶς
Ἀχιλλέως παῖ Νεοπτόλεμε, τὸν Μηλιᾶ
Ποίαντος υἱὸν ἐξέθηκ’ ἐγώ ποτε,
ταχθεὶς τόδ’ ἔρδειν τῶν ἀνασσόντων ὕπο,
νόσῳ καταστάζοντα διαβόρῳ πόδα,
ὅτ’ οὔτε λοιβῆς ἡμὶν οὔτε θυμάτων
παρῆν ἑκήλοις προσθιγεῖν, ἀλλ’ ἀγρίαις
κατεῖχ’ ἀεὶ πᾶν στρατόπεδον δυσφημίαις,
βοῶν, στενάζων. ἀλλὰ ταῦτα μὲν τί δεῖ
λέγειν; ἀκμὴ γὰρ οὐ μακρῶν ἡμῖν λόγων,
μὴ καὶ μάθῃ μ’ ἥκοντα κἀκχέω τὸ πᾶν
σόφισμα τῷ νιν αὐτίχ’ αἱρήσειν δοκῶ.
ἀλλ’ ἔργον ἤδη σὸν τὰ λοίφ’ ὑπηρετεῖν,
σκοπεῖν θ’ ὅπου ’στ’ ἐνταῦθα δίστομος πέτρα
τοιάδ’, ἵν’ ἐν ψύχει μὲν ἡλίου διπλῆ
πάρεστιν ἐνθάκησις, ἐν θέρει δ’ ὕπνον
δι’ ἀμφιτρῆτος αὐλίου πέμπει πνοή·
βαιὸν δ’ ἔνερθεν ἐξ ἀριστερᾶς τάχ’ ἂν
ἴδοις ποτὸν κρηναῖον, εἴπερ ἐστὶ σῶν.
ἅ μοι προσελθὼν σῖγα σήμαιν’ εἴτ’ ἔχει
χῶρον πρὸς αὐτὸν τόνδ’ <ἔτ’> εἴτ’ ἄλλῃ κυρεῖ,
ὡς τἀπίλοιπα τῶν λόγων σὺ μὲν κλύῃς,
ἐγὼ δὲ φράζω, κοινὰ δ’ ἐξ ἀμφοῖν ἴῃ.

ΝΕΟΠΤΟΛΕΜΟΣ

ἄναξ Ὀδυσσεῦ, τοὔργον οὐ μακρὰν λέγεις·
δοκῶ γὰρ οἷον εἶπας ἄντρον εἰσορᾶν.

ΟΔ. ἄνωθεν, ἢ κάτωθεν; οὐ γὰρ ἐννοῶ.
ΝΕ. τόδ’ ἐξύπερθε, καὶ στίβου γ’ οὐδεὶς κτύπος.
ΟΔ. ὅρα καθ’ ὕπνον μὴ καταυλισθεὶς κυρῇ.
ΝΕ. ὁρῶ κενὴν οἴκησιν ἀνθρώπων δίχα.
ΟΔ. οὐδ’ ἔνδον οἰκοποιός ἐστί τις τροφή;
ΝΕ. στιπτή γε φυλλὰς ὡς ἐναυλίζοντί τῳ.
ΟΔ. Τὰ δ’ ἄλλ’ ἔρημα, κοὐδέν ἐσθ’ ὑπόστεγον;

ΝΕ. αὐτόξυλόν γ᾽ ἔκπωμα, φλαυρουργοῦ τινος
τεχνήματ᾽ ἀνδρός, καὶ πυρεῖ᾽ ὁμοῦ τάδε.
ΟΔ. κείνου τὸ θησαύρισμα σημαίνεις τόδε.
ΝΕ. ἰοὺ ἰού· καὶ ταῦτά γ᾽ ἄλλα θάλπεται
ῥάκη, βαρείας του νοσηλείας πλέα.
ΟΔ. ἀνὴρ κατοικεῖ τούσδε τοὺς τόπους σαφῶς,
κἄστ᾽ οὐχ ἑκάς που· πῶς γὰρ ἂν νοσῶν ἀνὴρ
κῶλον παλαιᾷ κηρὶ προσβαίη μακράν;
ἀλλ᾽ ἢ ᾽πὶ φορβῆς νόστον ἐξελήλυθεν,
ἢ φύλλον εἴ τι νώδυνον κάτοιδέ που.
τὸν οὖν παρόντα πέμψον εἰς κατασκοπήν,
μὴ καὶ λάθῃ με προσπεσών· ὡς μᾶλλον ἂν
ἕλοιτό μ᾽ ἢ τοὺς πάντας Ἀργείους λαβεῖν.

[…]

ΧΟΡΟΣ

νῦν δέ μοι
λέγ᾽ αὐλὰς ποίας ἔνεδρος
ναίει καὶ χῶρον τίν᾽ ἔχει·
τὸ γάρ μοι μαθεῖν οὐκ ἀποκαίριον,
μὴ προσπεσών με λάθῃ ποθέν·
τίς τόπος ἢ τίς ἕδρα, τίν᾽ ἔχει στίβον,
ἔναυλον ἢ θυραῖον;

ΝΕ. οἶκον μὲν ὁρᾷς τόνδ᾽ ἀμφίθυρον
πετρίνης κοίτης.
ΧΟ. ποῦ γὰρ ὁ τλάμων αὐτὸς ἄπεστιν;
ΝΕ. δῆλον ἔμοιγ᾽ ὡς φορβῆς χρείᾳ
στίβον ὀγμεύει τόνδε πέλας που·
ταύτην γὰρ ἔχειν βιοτῆς αὐτὸν
λόγος ἐστὶ φύσιν, θηροβολοῦντα
πτηνοῖς ἰοῖς, στυγερὸν στυγερῶς,
οὐδέ τιν᾽ αὐτῷ
παιῶνα κακῶν ἐπινωμᾶν.

ΧΟ. οἰκτίρω νιν ἔγωγ᾽, ὅπως,
μή του κηδομένου βροτῶν,
μηδὲ ξύντροφον ὄμμ᾽ ἔχων,
δύστανος, μόνος αἰεί,
νοσεῖ μὲν νόσον ἀγρίαν,
ἀλύει δ᾽ ἐπὶ παντί τῳ
χρείας ἱσταμένῳ· πῶς ποτε, πῶς
δύσμορος ἀντέχει;
ὦ παλάμαι θνητῶν,
ὦ δύστανα γένη βροτῶν
οἷς μὴ μέτριος αἰών.

οὗτος πρωτογόνων ἴσως
οἴκων οὐδενὸς ὕστερος,
πάντων ἄμμορος ἐν βίῳ
κεῖται μοῦνος ἀπ᾽ ἄλλων,
στικτῶν ἢ λασίων μετὰ
θηρῶν, ἔν τ᾽ ὀδύναις ὁμοῦ
λιμῷ τ᾽ οἰκτρὸς ἀνήκεστα μερι-
μνήματ᾽ ἔχων βαρεῖ·
ἁ δ᾽ ἀθυρόστομος
ἀχὼ τηλεφανὴς πικρὰς
οἰμωγὰς ὑποχεῖται.